4 εἵλκυσάν σε,
ὀπίσω σου εἰς ὀσμὴν μύρων σου δραμοῦμεν.
Εἰσήνεγκέν με ὁ βασιλεὺς εἰς τὸ ταμίειον αὐτοῦ.
Ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν σοί,
ἀγαπήσομεν μαστούς σου ὑπὲρ οἶνον·
εὐθύτης ἠγάπησέν σε.
5 Μέλαινά εἰμι καὶ καλή, θυγατέρες Ιερουσαλημ,
ὡς σκηνώματα Κηδαρ, ὡς δέρρεις Σαλωμων.
6 μὴ βλέψητέ με, ὅτι ἐγώ εἰμι μεμελανωμένη,
ὅτι παρέβλεψέν με ὁ ἥλιος·
υἱοὶ μητρός μου ἐμαχέσαντο ἐν ἐμοί,
ἔθεντό με φυλάκισσαν ἐν ἀμπελῶσιν·
ἀμπελῶνα ἐμὸν οὐκ ἐφύλαξα.
7 Ἀπάγγειλόν μοι, ὃν ἠγάπησεν ἡ ψυχή μου,
ποῦ ποιμαίνεις, ποῦ κοιτάζεις ἐν μεσημβρίᾳ,
μήποτε γένωμαι ὡς περιβαλλομένη ἐπ᾽ ἀγέλαις ἑταίρων σου.
8 Ἐὰν μὴ γνῷς σεαυτήν, ἡ καλὴ ἐν γυναιξίν,
ἔξελθε σὺ ἐν πτέρναις τῶν ποιμνίων
καὶ ποίμαινε τὰς ἐρίφους σου
ἐπὶ σκηνώμασιν τῶν ποιμένων.
9 Τῇ ἵππῳ μου ἐν ἅρμασιν Φαραω
ὡμοίωσά σε, ἡ πλησίον μου.
10 τί ὡραιώθησαν σιαγόνες σου ὡς τρυγόνες,
τράχηλός σου ὡς ὁρμίσκοι;
11 ὁμοιώματα χρυσίου ποιήσομέν σοι
μετὰ στιγμάτων τοῦ ἀργυρίου.
12 Ἕως οὗ ὁ βασιλεὺς ἐν ἀνακλίσει αὐτοῦ,
νάρδος μου ἔδωκεν ὀσμὴν αὐτοῦ.
13 ἀπόδεσμος τῆς στακτῆς ἀδελφιδός μου ἐμοί,
ἀνὰ μέσον τῶν μαστῶν μου αὐλισθήσεται·
14 βότρυς τῆς κύπρου ἀδελφιδός μου ἐμοὶ
ἐν ἀμπελῶσιν Εγγαδδι.
15 Ἰδοὺ εἶ καλή, ἡ πλησίον μου,
ἰδοὺ εἶ καλή, ὀφθαλμοί σου περιστεραί.
16 Ἰδοὺ εἶ καλός, ὁ ἀδελφιδός μου, καί γε ὡραῖος·
πρὸς κλίνη ἡμῶν σύσκιος,
17 δοκοὶ οἴκων ἡμῶν κέδροι,

$4^{1}$] cum $3^{3}$ iungit B, cum $4^{2}$ iungit S, est stichus singularis in A | $4^{5}$ αγαπησωμεν Bc || $5^{1}$ ιερουσ.] ισραηλ B† | $5^{2}$ δερρις BA || $6^{1}$ με] μοι S† | $6^{5}$ εφυλαξαν A† || $7^{2}$ ποιμανεις A† | $7^{3}$ αγελας B† || $8^{3}$ και > S*† | $8^{4}$ ποιμ.] + σου A† || $9^{1}$ εν] επ A† || $10^{2}$ ορμισκος A† || $11^{1}$ ομοιωμα S*† || $13^{2}$ $14^{1}$ > B† || $16^{1}$ ο > B || $17^{1}$ οικων > S*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/265 UNIVERSITÄT LEIPZIG